«ὁ νόμος γάρ φησι καὶ οἱ προφῆται ἕως Ἰωάννου τοῦ βαπτιστοῦ»· ἅπαντα ὁ ἑξῆς χρόνος ἔδειξεν ἀληθῆ, ὥστε μὴ ψευσθῆναι τὸν περὶ τούτων εἰπόντα· Θεὸς δὲ πολλαχοῦ ἐν τοῖς προφήταις, ἵνα μὴ λέγω τοῖς ἀποστόλοις, ὡς καὶ ἐν τῇ ἐπιστολῇ Βαρούχ, ᾗ συνῆπται τῷ Ἱερεμίᾳ, γέγραπται. || «Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν», ἤτοι οὐχ ὅμοιος αὐτῷ, καὶ ἐπάγει «ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώ- f232r ποις συνανεστράφη». Καὶ ἁπλῶς εἰπεῖν, οἱ προφῆται ἅπαντα τὰ κατὰ τὸν Χριστὸν συνεπτυγμένως διηγήσαντο, τὴν γέννησιν, τὰ θαύματα, τὴν τῶν Ἰουδαίων ἐπιβουλήν, τὰ πάθη, τὴν ἔγερσιν, τὸν τόπον, τὸν χρόνον, τὸ κήρυγμα καὶ τὰ σημεῖα. Φησὶ γὰρ ἐν Ἡσαΐᾳ. «Ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας αὐτῶν, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου. Καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖα, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη εἰς Θαρσεῖς καὶ Φοὺδ καὶ Λοὺδ καὶ Μοσὸχ καὶ Θοβὲλ καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς τὰς νήσους τὰς πόρω, οἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα, οὐδὲ ἑωράκασί μου τὰ ἔργα καὶ τὴν δόξαν καὶ ἀναγγελοῦσί μου τὴν δόξαν ἐν τοῖς ἔθνεσι». Καὶ ὁ Ζαχαρίας, «ἥξουσι λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος ἐν Ἱερουσαλήμ. Τάδε λέγει Κύριος παντοκράτωρ· ἐν ταῖς ἡμέραις ἐκείναις ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν, καὶ ἐπιλήψονται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου λέγοντες· πορευσόμεθα μετὰ σοῦ, ὅτι ἀκηκόαμεν ὅτι ὁ Θεὸς μετὰ σοῦ ἐστιν». Ὅρα ὅπως οἰκουμενικὸν καὶ εἰς πάντα τὰ ἔθνη γενήσεσθαι τὸ κήρυγμα προεφήτευσεν Ἡσαΐας, καὶ τοῦτο ἐκδηλότερον τέθεικε διὰ τῶν ἀπηριθμημένων ἐθνῶν. Φοὺδ γὰρ Λιβυκὸν ἔθνος, Λοὺδ δὲ Λυδοί, Θοβὲλ δὲ Ἴβηρες, Μοσὸχ ἀνατολικὸν καὶ δυτικὸν ἔθνος, ἐκ τῶν ἀπογόνων τοῦ Νῶε τὴν ἐπωνυμίαν ἔχοντα. Ὅτι δὲ διὰ σημείων τὸ κήρυγμα καὶ αἱ συγγραφεῖσαι παρὰ τοῦ Λουκᾶ Πράξεις τῶν ἁγίων Ἀποστόλων ἐμφαίνουσι, καὶ αὐτὸς δὲ ὁ Μωάμεθ ἐν κεφαλαίῳ τῷ «ἐλμαϊδὰ» μαρτυρεῖ περὶ τοῦ Χριστοῦ, ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου πάντως μαθών. Ὅτι δὲ εἰς προσκύνησιν τοῦ ἁγίου καὶ ζωοδόχου τάφου παραγίγνονται οἱ χριστιανοί, ἐδήλωσεν ὁ Ζαχαρίας, καὶ ὅτι ὀλίγοι ἦσαν οἱ ἀπεσταλμένοι εἰς τὸ κήρυγμα, ὡς εἰς δέκα ἔθνη τὸν ἕνα πορεύεσθαι, καὶ || ὅτι Ἰουδαῖοι· τοῦτο γὰρ ἐδήλωσε διὰ τῶν δέκα ἀνδρῶν f 232v τῶν ἑτερογλώσσων καὶ τοῦ Ἰουδαίου. Ἄλλως τε δεῖ ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ ἐνευλογηθῆναι τὰ ἔθνη· φησὶ δὲ ὁ Θεὸς τῷ Ἀβραὰμ «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα». Ὁ Χριστὸς δὲ ἐκ σπέρματος

[1]) Λουκ. 16, 16. [5]) Βαρ. 3, 35. [10]) Ἡσ. 66. 18-19. [17]) Ζαχ. 8, 22.
[36]) Γεν. 21, 12.



Ε.Υ.Ζ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀβραάμ, ὡς ἡ γενεαλογία δηλοῖ. Ὁ δὲ Μαχούμετ Ἄραψ τῷ γένει, ἐκ μιᾶς τῶν φυλῶν Ἰσμαήλ, τοῦ διωχθέντος παρ' Ἀβραάμ, ὥστε μὴ κληρονομῆσαι μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. Εἰ γὰρ γνήσιος ἦν υἱὸς ὁ Ἰσμαὴλ τοῦ Ἀβραάμ, οἱ ἐξ αὐτοῦ Ἑβραῖοι ἂν ἐκαλοῦντο, ὡς καὶ οἱ ἐξ Ἰσαάκ· νῦν δὲ οὐχ οὕτως, ἀλλ' Ἰσμαηλῖται καὶ Ἀγαρηνοὶ καὶ ἄλλοι ἄλλως. Εἰ δὲ καὶ Ἰσμαὴλ ὑπὸ Θεοῦ εὐλογήθη, ἀλλ' ὥσπερ τὰ κτήνη, ὥστε πληθυνθῆναι τὸ σπέρμα αὐτοῦ, οὐ μὴν δὲ καὶ ἐνευλογηθῆναι ἐν αὐτῷ τὰ ἔθνη. Εἶχε δ' ὥς φασι καὶ πατρικὴν ἀρὰν ὁ Μωάμεθ διὰ παρακοήν. Καὶ ὁ μὲν Χριστος καὶ τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ἠπίστατο, ὡς ἐν τῷ Εὐαγγελίῳ φέρεται, ὁ δὲ Μαχούμετ οὐδὲ τὰ ἐν τῷ νόμῳ αὐτοῦ ἐκτιθέμενα ἠπίστατο· φησὶ γὰρ τὸν Θεὸν μόνον εἰδέναι τὴν τούτου ἐξήγησιν. Ὅθεν καὶ πολλὴ ἡ ἀντιλογία ἐν τοῖς τὸ Κορὰν ἐξηγουμένοις, ὡς ἀπορροῦντας, δαίμονος πιστεύειν εἶναι τοῦτο παράδοσιν. Ὁ Χριστός, Λόγος Θεοῦ ἐκ Παρθένου ἁγιωτάτης καὶ ὑπὲρ πάσας τὰς γυναῖκας τιμιωτέρας, δι' ἀγγέλου εὐαγγελισθεὶς αὐτῇ καὶ διὰ Πνεύματος Ἁγίου ἁγιασθείς, ὡς καὶ αὐτὸς ὁ Μωάμεθ φησίν, οὗτος δὲ ὀρφανὸς ἐν πλάνῃ, εἰδωλολάτρης γάρ, φονεὺς δὲ καὶ ἅρπαξ καὶ ἀσελγὴς καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασι περιέπεσεν, ἐφ' οἷς λέγουσιν ὁ Θεὸς αὐτὸν συνεπάθησεν. Ἔτι ὁ Χριστὸς διὰ θαυμάτων τὸν νόμον ἔδωκεν, ὁ δὲ Μωάμεθ διὰ ξίφους, ὥς δή που καὶ αὐτὸς ὁμολογεῖ. Καὶ τὸ μὲν Εὐαγγέλιον πᾶσι τοῖς ἔθνεσι ἐκηρύχθη κατ' ἰδίαν καὶ ἰδίαν διάλεκτον, τὸ δὲ Κορὰν μόνῃ τῇ ἀραβικῇ φωνῇ γέγραπται· φησὶ γὰρ ὁ Μωάμεθ ἑτέραν γλῶσσαν μὴ ἐπίστασθαι αὐτὸν πλὴν τῆς ἀραβικῆς, ἀπεστάλθαι δὲ τοῖς Ἄραψι διὰ τὸ μὴ ἔχειν προφήτην. Εἰπάτωσαν οὖν οἱ Σαρρακηνοί, πῶς τὸ Εὐαγγέλιον καὶ τοὺς λοιποὺς
233r προφήτας καταλελοίπασι, μόνῳ δὲ τῷ Κορὰν προσέχουσι, μήτε || θαύμασι βεβαιωθέντι, μήτ' οὖν ἑνὶ προφήτῃ, μήτε καθ' αὑτῷ συμφωνοῦντι; Καὶ φασίν, ὅτι τὸ μὲν Εὐαγγέλιον ὑπὸ τῶν Χριστιανῶν διεφθάρη, τὰ δὲ προφητικὰ ὑπὸ τῶν Ἰουδαίων, φθόνῳ δὲ καὶ τὸ τοῦ Μωάμεθ ὄνομα ὑπ' αὐτῶν ἐξεβλήθη. Καὶ πῶς τοῦτο δῆλον, ὅτι τὰ μὲν ἡμέτερα διεφθάρη, τὸ δὲ Κορὰν καὶ ἐξ ἀρχῆς καλῶς συνετέθη καὶ μετὰ ταῦτα σῶον ἐτηρήθη; Ἀλλ' οὐκ ἂν ἔχοιεν τοῦτο ἀποδεῖξαι. Ἡμεῖς καὶ τοῦτο ἀποδείξομεν, ὅτι παλαιὰ μὲν ἅπασα καὶ νέα Γραφὴ σῶα, ἀσύστατον δὲ καὶ διεφθαρμένον τὸ Κοράν.

Ἀλλ' ὅτι μὲν οὐ διαφθορὰ γέγονεν ἐν τῇ θείᾳ Γραφῇ, δῆλον μὲν ἐκ τοῦ σῶαν καὶ τὴν αὐτὴν τηρεῖσθαι ἐν πᾶσιν τοῖς ἔθνεσιν. Οὐδὲ γὰρ εἰκὸς τὰς γλώσσας ἁπάσας καὶ ἀνθρώπους ἅπαντας συμφωνῆσαι

35) **ἐν τῇ ᾤᾳ : ὅτι οὐ νενόθευται ἡ θεία Γραφή:**

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

εἰς τὴν τοιαύτην διαφθορὰν ἐπὶ βλάβῃ τῇ ἑαυτῶν, ὥστε τὴν ἀλήθειαν καταλιπεῖν καὶ τῷ ψεύδει προσκολληθῆναι, ἀλλὰ τῆς διαφθορᾶς γινομένης ἐναντιωθῆναι τινάς, καὶ οὕτως ὑπομνήματά που τῆς ἀληθείας διασωθῆναι, καὶ μάλισθ᾽ ὅτι διάφοροι αἱρέσεις. Ὅθεν ἀδύνατον συνελθεῖν εἰς τὴν τοιαύτην λύμην τῶν Γραφῶν, κἀντεῦθεν ὑπολειφθῆναι τὰς Γραφὰς ἔν τισιν ἔθνεσιν ἀνοθεύτους. Νῦν δὲ ὁρῶμεν ἁπάσας ὁμοίως ἐν πᾶσιν. Εἰ δὲ πού τις διαφωνία ἐν λέξει, τοῦτο οὐ κατὰ τὸ νόημα, ἀλλὰ κατὰ τὴν ἑρμηνείαν τῆς διαλέκτου ἢ τοῦ μεταγράφοντος ἀπροσεξία. Ὅθεν ἀδύνατον ἡμῶν ἐπιλαβέσθαι τοὺς Σαρακηνούς. Πῶς δὲ καὶ Ἰουδαῖοι οὐ τὰ κατὰ τὸν Χριστὸν μᾶλλον ἀφεῖλον τῶν θείων Γραφῶν, ἀλλὰ τὰ κατὰ τὸν Μαχούμετ, ὑπὲρ οὗ λόγος αὐτοῖς οὐδείς ποτε γέγονε; Πῶς οὐ τὸν σταυρὸν ἐξεῖλον τῶν ἁγίων Εὐαγγελίων οἱ χριστιανοί, μᾶλλον δοκοῦντα τοῖς ἀπίστοις αἰσχύνην Χριστοῦ, ἀλλὰ τὸν Μωάμεθ, οὕτω παρὰ τοῦ Χριστοῦ ἐπαινούμενον, μᾶλλον δὲ πῶς αὐτὸν διάβολον ἢ τὸν προδότην κακῶς πρὸς τὸν Χριστὸν διατεθειμένους; Ὁ γὰρ Μωάμεθ ὅσον πρὸς ἐκείνους φιλικώτερος. Εἰ διεφθάρη παλαιά τε καὶ νέα Γραφή, πῶς ἔτι συμφωνοῦσιν ἀλλήλαις; Ἔδει γὰρ τῆς διαφθορᾶς γενομένης μηδὲ συμφωνεῖν ἀλλήλαις, || ἀλλ᾽ f 233v ἐναντιοῦσθαι. Μὴ γὰρ ἔχεις εἰπεῖν, ὅτι Χριστιανοὶ καὶ Ἰουδαῖοι συνελθόντες καὶ συμφωνήσαντες οὕτω ταύτας κατέστησαν, ὥστε μηδόλως διαφωνεῖν; Τοῦτο γὰρ τῶν πάντῃ ἀδυνάτων, ἄλλως τε καὶ τῆς διαφθορᾶς τοῦτο ἴδιον μὴ συμφωνεῖν, κἂν ἐπιτηδείως μάλα ἡ διαφθορὰ γένοιτο, εἰ μὴ διαφθορὰν τὴν τοῦ Εὐαγγελίου ἀναπλήρωσιν εἴποιεν, ὅπερ σκαιόν, ὡς ἀποδέδεικται· ἡ γὰρ ἀναπλήρωσις οὐ φθορὰ τῆς παλαιᾶς, ἀλλὰ βεβαίωσις· οὐδὲ γὰρ τὸ Κορὰν πονηρὸν τῷ ἁπλῶς διαφέρειν, ἀλλ᾽ ὅτι ἡ διαφορὰ ἐναντία καὶ τοῦ Εὐαγγελίου κατάλυσις. Εἴποιμι δ᾽ ἂν καὶ τοῦτο ἀκολούθως· πῶς ἡ τοιαύτη διαφθορὰ οὐχὶ καὶ ἐν τοῖς ἑξῆς γέγονεν; Εἰ τὸ Εὐαγγέλιον διεφθάρη, πῶς Ἰώσηπός τις Ἰουδαῖος καί τινες ἕτεροι παλαιοὶ τούτῳ συμφωνοῦσιν, ἱστοροῦντες τὰ περὶ τῆς ἁλώσεως Ἱερουσαλὴμ καὶ τὰ κατὰ Χριστὸν σημεῖα; Ἀλλ᾽ ὑπὸ τῶν Ἀποστόλων διεφθάρη; Καὶ πῶς οἱ συγγραψάμενοι διέφθειραν; Ἀλλ᾽ οἱ μετὰ ταῦτα; Καὶ οὕτως ἀδύνατον· τὸ γὰρ ἱερὸν Εὐαγγέλιον οὔτε ὑπὸ ἑνὸς ἐγράφη, οὔτε ἐν ἑνὶ καιρῷ ἢ τόπῳ, οὔτε τῇ αὐτῇ διαλέκτῳ. Ὁ μὲν γὰρ Ματθαῖος ἐν Ἱερουσαλὴμ ἑβραϊστὶ συνεγράψατο, ὁ δὲ Μᾶρκος ἐν Ἰταλίᾳ λατινικῶς, Λουκᾶς δὲ ἐν Ἀχαΐᾳ ἑλληνιστί, ὡσαύτως καὶ Ἰωάννης ἐν Πάτμῳ τῇ νήσῳ συνεγράψατο καὶ τοῖς Ἀσιανοῖς μετεκόμισε. Πῶς οὖν ἐν οὕτω διαφόροις τόποις καὶ χρόνοις καὶ διαλέκτοις ὑπὸ διαφόρων εὐαγγελιστῶν

ΙΩΑΝΝΙΝΑ 2006

γραφέντος τοῦ Εὐαγγελίου ἐν καιρῷ διωγμοῦ συνῆλθον οἱ χριστιανοὶ καὶ διέφθειραν ὁμοῦ καὶ τὰ τέσσαρα εὐαγγέλια; Τὰ αὐτὰ καὶ περὶ τῆς Παλαιᾶς σκεπτέον· οὐ γὰρ παρ' Ἰουδαίοις μόνοις, ἀλλὰ καὶ παρὰ ταῖς λοιπαῖς διαλέκτοις ἡ αὐτή, ὡς δῆλον ἐντεῦθεν, ὅτι οὔτε πρὸ τοῦ Μωάμεθ, οὔτε μετ' αὐτὸν αἱ Γραφαὶ διεφθάρησαν. Εἰ δὲ διεφθάρησαν, πόθεν οἱ Σαρακηνοὶ γινώσκουσιν, ὅτι τὸ Κορὰν ἐκ τῶν προφητῶν καὶ τοῦ Χριστοῦ ἔχει τὴν μαρτυρίαν; Εἰ δ' ἀλόγως, ὡς αὐτοῖς φίλον, διισχυρίζονται ὅτι διεφθάρησαν, εἰπάτωσαν ἡμῖν καὶ τὸν καιρὸν καθ' ὃν ἡ || f 234r διαφθορὰ γέγονε καὶ παρὰ τίνων, δειξάτωσαν δὲ καὶ ὑγιὲς ἐν πᾶσι τοῖς ἔθνεσι τό τε παρ' αὐτοῖς Εὐαγγέλιον καὶ τὰς λοιπὰς Γραφάς, ὡς ἡμεῖς ἀπεδείξαμεν, καὶ πείσουσιν ἡμᾶς. Οὐδὲ γὰρ εἰκὸς τὸν Θεὸν οὕτω παραχωρῆσαι, ὥστε καθολικὴν γενέσθαι τὴν διαφθοράν. Καὶ ἄλλως· εἰ διέφθαρται τὸ Εὐαγγέλιον, πῶς ἐν κεφαλαίῳ τῷ περὶ τοῦ Ἰωνᾶ φησὶν ὁ Μωάμεθ: εἰ περὶ ὧν ὑμῖν ἀπεκαλύψαμεν ἀμφιβάλλετε, ζητήσατε παρὰ τῶν πρότερον ὑμῶν τὸ βιβλίον ἀνεγνωκότων. Οἱ δὲ πρὸ τῶν Σαρακηνῶν τὴν βίβλον ἀνεγνωκότες οἱ χριστιανοί εἰσι καὶ Ἰουδαῖοι, οἱ τὴν πεντάτευχον δεξάμενοι καὶ τὸ Εὐαγγέλιον, ὡς αὐτὸς ἐξηγεῖται ὁ Μωάμεθ. Καὶ ἐν τῷ κεφαλαίῳ τῷ «ἐλμαϊδά», ὃ ἑρμηνεύεται τράπεζα, φησίν, ὅτι ἡ τῆς βίβλου ἑταιρεία οὐδὲν ὅλως εἰσίν, εἰ μὴ πληρώσαιεν τὸ Εὐαγγέλιον καὶ τὸν νόμον. Εἰ οὖν διεφθαρμένα ὑπῆρχον τὰ βιβλία, οὐκ ἂν τὴν αὐτοῦ ἑταιρείαν ἐν τούτοις παρέπεμπεν, ὡς ἐντεῦθεν γνῶναι τὴν ἀλήθειαν καὶ φυλάττειν. Οὐδ' ἂν ἐν κεφαλαίῳ τῷ «ἐλαγάρ», ὃ δηλοῖ λίθος, ἐκ προσώπου τοῦ Θεοῦ ἔλεγεν, ἡμεῖς τὰς ὑπομνήσεις τοῦ Θεοῦ πεποιήκαμεν καταβῆναι καὶ ἡμεῖς ταῦτα φυλάξομεν. Ὑπομνήσεις δὲ λέγεται παρ' αὐτοῖς τὸ Εὐαγγέλιον καὶ ὁ τοῦ Μωσέως νόμος, ἅπερ, ὡς ἀποδέδεικται, καὶ μετὰ ταῦτα ἐφυλάχθησαν ἀλώβητα.

Τὸ δὲ Κορὰν οὔτε ἀπὸ Θεοῦ, οὔτέ μην ὡς συνετέθη τετήρηται. Καὶ ὅτι μὲ οὐκ ἀπὸ Θεοῦ οὐ μόνον ὡς ἐναντίον τοῦ νόμου τοῦ Θεοῦ, ἀλλ' ὅτι καὶ καθ' αὑτὸ ἀσύμφωνον καὶ ὁμολογούμενα περιέχει ψεύδη. Μαρτυρεῖ γὰρ καὶ αὐτὸς ὁ Μωάμεθ ἐν κεφαλαίῳ τῷ «ἐλνεσά», ὃ ἑρμηνεύεται γυναῖκες, ὅτι εἰ μὴ παρὰ Θεοῦ ἦν τὸ Κοράν, πολλαὶ ἐναντιότητες εὑρίσκοντο ἂν ἐν αὐτῷ. Ἀλλὰ μὴν πολλαὶ ἐναντιότητες καὶ ἀντιφάσεις εὑρίσκονται. Φησὶ γὰρ ἐν κεφαλαίῳ τῷ «χαμπαρά», ὃ ἑρμηνεύεται δάμαλις, ὅτι οἱ Ἰουδαῖοι καὶ οἱ Χριστιανοὶ καὶ οἱ Σαβαῖοι

24) ἐν τῇ ᾤᾳ: δῆλον ὅτι ὑπομνήσεις Θεοῦ τὰ τοῦ Χριστοῦ φησίν. 28) ἐν τῇ ᾤᾳ: ὅτι οὐκ ἀπὸ Θεοῦ τὸ Κοράν. 34) ἐν τῇ ᾤᾳ: μπακαρά.

σωθήσονται· καὶ ἐν τῷ κεφαλαίῳ τῷ «ἀμράμ» φησὶ μετὰ ταῦτα, ὅτι οὐδεὶς σωθήσεται, πλὴν τῶν ἐν τῷ νόμῳ τῶν Σαρακηνῶν· || f 234v ἐντελλόμενος δὲ τούτοις φησί, μὴ διαλέγεσθαι μετὰ ἑτέρας αἱρέσεως λόγοις ταχέσιν, ἀλλ' ἠπίοις· οὐ γὰρ ἀνθρώπου τὸ καταρτίζειν, ἀλλὰ Θεοῦ μόνου, καὶ ἕκαστος ὑπὲρ ἑαυτοῦ, οὐχὶ δὲ καὶ ὑπὲρ ἄλλου λόγον δώσει· μετὰ δὲ ταῦτα αὐτὸς ἐντέλλεται ἀποκτείνεσθαι πάντας καὶ λωποδυτεῖσθαι τοὺς μὴ πιστεύοντας, μέχρις ἂν πιστεύσωσι ἢ τελέσωσι φόρους. Ὁ αὐτός φησιν, ὅτι κατερχομένου τοῦ Γαβριὴλ πρὸς αὐτὸν μὴ δύνασθαι φέρειν τὴν παρουσίαν αὐτοῦ, ἀλλὰ πίπτειν χαμαί· καὶ πάλιν αὐτός φησιν, ὅτι ὑπὸ τοῦ Γαβριὴλ ἐπωμάδιος ἐν νυκτὶ τινὸς μὴ εἰδότος ἀνῆλθεν εἰς τὸν οὐρανόν, καὶ ἐντυχὼν ἀγγέλῳ ἁμαρτήσαντι μυριάκις μείζονι τοῦ κόσμου παντὸς ἐδεήθη ὑπὲρ αὐτοῦ, ἀγγέλους τε ἰδεῖν, φησί, χιλίας κεφαλὰς ἕκαστον ἔχοντα, ἑκάστην δὲ κεφαλὴν χίλια στόματα ἔχουσαν καὶ ἕκαστον στόμα χιλίας γλώσσας αἰνούσας τὸν Θεόν. Ὁ αὐτὸς ἁρπαγὰς καὶ φόνους κωλύει, ἐπιορκίας τε καὶ οἰωνισμούς, καὶ πάλιν ἐνδίδωσιν. Ἔτι φησίν, ὅτι πρὸ αὐτοῦ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὸν παράδεισον· καὶ αὖθις φησίν, ὅτι ἔδειξεν αὐτῷ ὁ Θεὸς γυναῖκάς τε καὶ ἄνδρας πολλοὺς εἰσελθόντας πρὸ αὐτοῦ εἰς αὐτόν· ἀλλὰ μὴν καὶ ποταμοί φησιν οἴνου ὑπάρχειν ἐν τῷ παραδείσῳ, ὃν αὐτὸς ἀπηγόρευσε πίνειν. Ὁ αὐτός φησιν, ὅτι συνεγράψατο βιβλίον δυοκαίδεκα χιλιάδας λόγους ἔχον θαυμαστούς, καὶ ἀπὸ τούτων οἱ μὲν τρισχίλιοι εἰσὶν ἀληθεῖς, οἱ δὲ λοιποὶ ψευδεῖς. Ὁ αὐτός φησιν, ὅτι αὐτός ἐστιν ἀρχηγὸς τῆς αἱρέσεως τῶν Σαρακηνῶν· καὶ πάλιν αὐτός φησιν, ὅτι οἱ πατριάρχαι, ἀλλὰ δὴ καὶ ὁ Νῶε τῆς αὐτῆς ἦσαν αἱρέσεως. Ὁ αὐτός φησιν τοῖς τῷ νόμῳ αὐτοῦ ἀκολουθήσασιν, ὑμεῖς μετ' ἐμὲ εἰς ἑβδομήκοντα τρεῖς διαιρεθήσεσθε μοίρας, ὧν μία σωθήσεται, αἱ δὲ λοιπαὶ τῷ πυρὶ καταλογισθήσονται, ὅπερ καὶ παρ' αὐτοῖς ὡς ἀληθὲς πιστεύεται. Ὁμοία τοιαύτη ἀπόφασις φέρεται ἐν τῷ κεφαλαίῳ τῷ «μαριήλ», ὃ ἑρμηνεύεται || f 235r Μαρία, ἀποφαίνουσα πάντας εἰς τὸν Ἅδην ἀπελεύσεσθαι τοὺς Σαρακηνούς, προφήτην δὲ ἑαυτὸν ὀνομάζων, ἀποδείκνυσι μὴ εἰδέναι τὰ μέλλοντα. Λέγει γάρ, εἰ ἐγίνωσκον τὰ ἀπόντα, εἶχον ἂν πλεονάσαι ἐκ τοῦ ἀγαθοῦ καὶ οὐκ εἶχέ μοι ἅψασθαι δεινόν. Οὐδὲ γὰρ ἔχει προφήτου ποσῶς ἰδίωμα, ἀλλὰ τἀναντία πάντα. Ἔχει δὲ καὶ ὁμολογούμενα ψεύδη τὸ Κοράν, ὡς ὅταν λέγῃ τὸν ἥλιον καὶ τὴν σελήνην ἐφίππους εἶναι, καὶ ἐκ βδέλλης γίνεσθαι ἄνθρωπον, καὶ κάμηλον τοιαύτην γεγονέναι, ὥστε μὴ χωρεῖσθαι μεταξὺ δύο ὀρέων μεγάλων, ἐντεῦθεν δὲ τὸν παραρρέοντα ποταμὸν μόνην ῥοφᾶν καὶ τὸν παροικοῦντα λαὸν λυπῆσαι καὶ κατ' αὐτῆς διεγεῖραι· καὶ ἀπο-

κτανθεῖσαν, καταλειφθείσης μικρᾶς καμήλου καὶ μωκωμένης, ὑπακούσαντα τὸν Θεὸν ἀναλαβεῖν αὐτὴν εἰς τὸν οὐρανόν. Ἔτι ἐν βιβλίῳ τῷ «κεραμὰρ» φησίν, ὡς ἐδιχοτόμησε τὴν σελήνην καὶ τὸ μὲν ἥμισυ ταύτης εἰσῆλθεν εἰς τὸν χιτῶνα αὐτοῦ, θάτερον δὲ πέπτωκεν ἐπὶ τῆς γῆς, καὶ αὖθις ἀπεκατέστησε σῷαν. Ἀποδιδοὺς δὲ τὴν αἰτίαν δι' ἣν οὐκ ἔξεστι τῶν ὑείων ἅπτεσθαι κρεῶν φησί, ὅτι ἐν τῇ κιβωτῷ, ἐν ᾗ Νῶε ἦν, ἐξ ἐλέφαντος προῆλθεν ὁ χοῖρος, ἐκ δὲ τῆς κόπρου τοῦ χοίρου ὁ μῦς· εἶτα κινδυνευόντων διὰ τοῦ μυὸς τῶν ἐν τῇ κιβωτῷ εἶπεν ὁ Θεὸς τῷ Νῶε προσελθεῖν τῷ λέοντι καὶ προσκυνῆσαι κατὰ τὸν πρωκτόν· οὗ γενομένου ἐξῆλθεν ἡ γαλῆ καὶ τὸν μῦν ἐχειρώσατο. Εἰπάτωσαν οὖν, εἰ τότε ἡ γαλῆ καὶ ὁ μῦς παρὰ φύσιν ἐγένοντο, καὶ ὁ μὲν ἑάλω, ἡ δὲ μόνη διεσώθη, πῶς μετὰ ταῦτα εἰς πλῆθος ἐπέδωκαν; Ἀλλ' οὕτω μὲν πολλὰ τοιαῦτα ψευδῆ καὶ ἀμάρτυρα καὶ ἀσύστατα καὶ τοῦ θείου νόμου πολέμια περιέχει τὸ Κοράν.

Ὅτι δὲ καὶ οὐκ ἀναλλοίωτον εἰς τὸ ἑξῆς ἔμεινε, βούλεται ὁ λόγος δηλοποιῆσαι. Χρὴ δὲ πρῶτον περὶ τῆς συγγραφῆς αὐτοῦ καὶ τοῦ συγγράψαντος ἐξειπεῖν. Οὗτος ὁ Μωάμεθ κατὰ τὸ ἑξακοσιοστὸν ἕκτον ἔτος ἀπὸ τῆς τοῦ Κυρίου σαρκώσεως, πεντεκαιδέκατον δὲ Ἡρακλείου τοῦ
f 235v βασιλέως ἀνεφάνη· ὅσπερ ἐν πλουσίᾳ τινὶ || χήρᾳ θητεύων, συγγενόμενος αὐτῇ καὶ γενόμενος ταύτης ἀνήρ, γέγονε δι' αὐτῆς πλούσιος, εἶτα ἀρχιληστὴς καὶ τύραννος. Ἐπιληπτικὸς δὲ ὤν, ἵνα κάτοχός τις εἶναι πιστεύηται, συνεχῶς πίπτων καὶ ἀνιστάμενος, ἔλεγεν ἄγγελον αὐτῷ συλλαλεῖν, δίκην κώδωνος τῆς τούτου φωνῆς περιηχούσης τοῖς τούτου ὠσί. Προσκολληθέντων δέ τινων αὐτῷ Ἰουδαίων τε καὶ Νεστοριανῶν καί τινος Ἰακωβίτου ὀνόματι Βαειρᾶ, τοῦ καὶ φονευθέντος μετὰ ταῦτα, ὥς φασιν, ἀγνοίᾳ παρὰ τοῦ Μωάμεθ, συντέθεικε δι' αὐτῶν τινα νόμου τρόπῳ ἔκ τε τῆς νέας ἔκ τε τῆς παλαιᾶς λαμβάνων Διαθήκης σκαιῶς. Ἱστόρηται δὲ ὡς φάναι τὸν Μωάμεθ κατελθεῖν ἐπ' αὐτῶν τὸ Κορὰν ἐν ἑπτὰ ἀνδράσι, τούτους δὲ φασιν εἶναι τὸν Ναφὲ καὶ Ἐόν, Ὀμάρ, Ὀμρά, Ἐλρεσάρ, Ἀσὴρ τὸν υἱὸν τοῦ Κετήρ, καὶ τὸν υἱὸν Ἀμάρ. Ἀπὸ δὲ τοῦ καιροῦ τοῦ Μωάμεθ οὐδεὶς ἐπιστήμων ἐγένετο τοῦ Κοράν, εἰμὴ Ἀνδαλά, ὁ υἱὸς τοῦ Μεσετούδ, καὶ ὁ Ζεΐθ, ὁ υἱὸς τοῦ Ταμπέθ, καὶ ὁ Κανάν, ὁ υἱὸς Ὀφάν, καὶ ὁ Ἐμπῆ, υἱὸς τοῦ Τάπ. Ἕκαστος δὲ τούτων συντέθεικεν ἴδιον Κοράν, ὑπὲρ ὧν καὶ μέχρι θανάτου αὐτοῖς ὁ πόλεμος, διὰ τὸ μὴ δέχεσθαι ἕκαστον τὰ τοῦ ἑτέρου. Μετὰ

[15]) ἐν τῇ ῷᾳ : περὶ τῆς συγγραφῆς τοῦ Κοράν, καὶ ὅτι οὐκ ἀμεταποίητον ἔμεινεν.

ΙΩΑΝΝΙΝΑ 2006

δὲ τὸν τούτων θάνατον λέγεται διχονοῆσαι τὸν λαὸν μέχρι τοῦ καιροῦ Μπερπάν, τοῦ υἱοῦ Ἐλεκέμ, ὃς συντεθεικὼς τὸ παρὰ τοῖς Σαρακηνοῖς νῦν κρατούμενον Κορὰν τὰ ἄλλα ἐνέπρησε. Φέρεται δ' ὥς φασι κἀν ταῖς ἱστορίαις αὐτῶν, ὅτι τὸ ἀποστασίου κεφάλαιον ὑπερέβαινε, τὸ δὲ κεφάλαιον τῆς βοὸς τὸ πρῶτον ἐν διακοσίαις τριάκοντα ἀποφάσεσιν ἦν, νῦν δὲ συνέστηκε τὸ ὅλον ἐκ δώδεκα. Φασὶ δὲ ἄλλοι καὶ τὸ δεύτερον κεφάλαιον τῆς βοὸς χιλίας ἀποφάσεις περιέχειν ποτέ, νῦν δὲ πρὸς ταύταις διακοσίας ὀγδοήκοντα ἑπτά. Ἐμφέρεται δὲ καὶ περί τινος δυνατοῦ ὀνόματι Ἐλγάγ, ὅτι ἀφεῖλεν ἐκ τοῦ Κοράν, ὀγδοήκοντα πέντε ἀποφάσεις καὶ προσέθηκεν ἄλλας τοσαύτας εἰς ἕτερον σκοπὸν ‖ ἀφορώσας. Πῶς οὖν ἀληθές, ὅπερ φασὶ περὶ τοῦ Κοράν, εἰπεῖν τὸν f 236r
Θεόν, ὅτι ἡμεῖς καταβῆναι πεποιήκαμεν τὴν ἀνάμνησιν καὶ ἡμεῖς αὐτὴν φυλάξομεν; Διηγοῦνται δὲ καί τινες αὐτῶν ἱστορίαν, ὡς τοῦ Μωάμεθ φαρμάκῳ ἀποθανόντος, οὐκ εἶχεν ὁ λαὸς Κοράν, τοῦ δὲ Ἐμπεουμπεκὲρ τὴν ἀρχὴν λαβόντος καὶ προστάξαντος ἀναμνησθῆναι ἕκαστον ὃ δύναται, συνετέθη τὸ νῦν ἐν χερσὶν Κοράν, τὰ δὲ λοιπὰ κατεκαύθη. Οἱ δὲ περὶ τὴν Ἀσσυρίαν φασὶ τὸν Μωάμεθ τυραννικῇ δυνάμει νοσφίσασθαι ἑαυτῷ τὸ τοῦ Ἀλῆ, υἱοῦ Ἀβιταλέμ. Ἱκανῶς γοῦν, ὡς ἐμοὶ δοκεῖ, δέδεικται κατὰ πάντα διεφθαρμένον εἶναι τὸν νόμον τῶν Σαρακηνῶν.

Ἀλλ' ἐπειδή, ὡς λέγουσιν, καὶ τὸ Εὐαγγέλιον δέχονται, μᾶλλον δὲ τὸ Κορὰν ἐπαινοῦσιν ὡς δυνάμενον παρὰ πάντων πληροῦσθαι διὰ τὴν συγκατάβασιν, ἐρωτήσωμεν αὐτούς, ποῖον βαρύτερον, τὸ ἐλεεῖν ἢ ἀδικεῖν, καὶ πότερον τούτων κουφότερον; Καὶ πάντως ἐροῦσιν, κουφότερον μὲν τὸ ἀδικεῖν, φορτικώτερον δὲ τὸ ἐλεεῖν. Ποῖον δὲ ἄρα ἐπαίνου ἢ ψόγου ἄξιον; καὶ οὕτως αὖθις ἐροῦσιν, ἐπαίνου μὲν τὸ ἐλεεῖν, ψόγου δὲ καὶ κολάσεως τὸ τὰ ἀλλότρια σφετερίζεσθαι. Οὐ γὰρ ἂν εἰς τοῦτο ἔλθωσιν, ὥστε τὸ κακὸν ἐπαινέσαι· εἰ δὲ μή γε λοιπὸν οὐδεμία κρίσις καὶ δικαιοσύνη ἔσται καὶ χείρους κατὰ τοῦτο τῶν ἀλόγων ἐσόμεθα, ὅτι κἀκεῖνα δοκοῦσι μετ' ἀλλήλων εἰρηνεύειν. Οὕτως οὖν ἀποδειχθέντος ὅτι τὸ βαρύτερον ἐπαινετώτερον, πῶς οὐχ' οἱ κατὰ τὸ Εὐαγγέλιον πολιτευόμενοι ἀποδεκτέοι, ὑπὸ ἔγκλημα δὲ οἱ κατὰ τὸ Κοράν; Εἰ δὲ τραπέντες, τὰ πρόδηλα μὲν κακὰ ἀποπέμπονται, παραδέχονται δὲ ὅσα εἰς σωματικὴν θεραπείαν νενομοθέτηται, καὶ οὕτως εὐχείρωτοι ἔσονται. Ἐρωτῶμεν γὰρ αὐτούς· πότερον, ἀγαπᾷ ὁ Θεὸς τὴν ἰσότητα καὶ τὴν εὐνομίαν ἢ τὴν ἀνισότητα καὶ παρανομίαν; καὶ πάντως οὐδὲ οὕτως τὸν Θεὸν ἀνισότητος καὶ ἀνομίας φήσουσιν ἐραστήν· ἢ γὰρ ἂν

21) Ἐν τῇ φα: σύγκρισις Εὐαγγελίου καὶ τοῦ Κοράν.

ΙΩΑΝΝΙΝΑ 2006

ὁ Θεὸς ἄδικος καὶ οὐκ ἔσται παρ' αὐτῷ κρίσις. Εἰ οὖν εὐθύτης ‖
f 236 v παρ' αὐτῷ καὶ δικαιοσύνη, δειξάτωσαν ποία δικαιοσύνη, γυναῖκας μὲν χιλίας, κατὰ τὸν Μωάμεθ, ὑφ' ἕνα τάττεσθαι ἄνδρα, ἄνδρα δὲ χιλίας ἄγειν γυναῖκας; Πῶς οὖν οὐ τοῦτο ἄδικον καὶ τῆς τοῦ Θεοῦ κρίσεως ἀλλότριον; Εἰ γὰρ καὶ μὴ φανερῶς ὁ Θεὸς ἐκώλυσε τὴν πολυγαμίαν, ἀλλ' οὖν ἔργῳ ἔδειξεν, ὅτι τὸν ἄνθρωπον μίαν γυναῖκα χρὴ κεκτῆσθαι, καὶ τὴν γυναῖκα ἄνδρα ἕνα, ἐξ ἀρχῆς ἄνδρα ἕνα μετὰ μιᾶς γυναικὸς παραγαγών. Εἰ γὰρ ἐβούλετο, κατὰ τὸν τοῦ Μωάμεθ νόμον, πολλὰς γυναῖκας ἕκαστον ἔχειν τῶν ἀνδρῶν, πολλὰς ἂν καὶ κατ' ἀρχὰς παρήγαγεν, ἵνα μὴ μετὰ ταῦτα τοῦ ἑνὸς πολλὰς λαμβάνοντος, οἱ λοιποὶ δέονται τῶν γυναικῶν· συμβαίνει γὰρ ἐντεῦθεν τοῦ ἑνὸς πολλὰς λαμβάνοντος, τοὺς πολλοὺς μίαν λαμβάνειν. Ἀλλ' ἀσελγὴς ὢν ὁ Μωάμεθ, ἀσελγὴς καὶ ὁ νόμος αὐτοῦ· καὶ γάρ φησι περὶ αὐτοῦ ὡς τοσαύτην ἔχειν περὶ τὰ ἀφροδίσια τὴν ἐνέργειαν, ὅσην ἂν τεσσαράκοντα ἄνδρες, εἰ καὶ παίδων πατὴρ οὐκ ἐγένετο, μόνης δὲ μιᾶς θυγατρός. Ἐντεῦθεν ὡς ἔοικε καὶ τοῖς βουλομένοις τὰς ἰδίας γυναῖκας ἀπολύειν ἐπιτρέπει, καὶ ἀναλαμβάνειν ὁσάκις ἂν βούλοιντο, ἵνα ταύτας αὐτὸς λαμβάνων διαφθείρῃ. Ἐπεὶ καὶ τοῦτο προτάσσει μετὰ τὴν τρίτην αὐτῶν ἐκβολὴν παρὰ τῶν ἀνδρῶν, μὴ δέχεσθαι πρὶν ἂν ἑτέρῳ συγγένωνται ἱκανῶς πρὸς τὴν μίξιν ἔχοντι. Οὕτως ἄρα κακοῦ σπορέως κακὰ τὰ γεννήματα. Ὁ δὲ Χριστός, Λόγος ὢν τοῦ Θεοῦ καὶ ἁμαρτίαν οὐδόλως εἰδώς, πᾶσαν ἀνισότητα μισεῖ, εὐθύτητα δὲ καὶ ἔλεος ἀγαπᾷ. Καὶ γὰρ εἰ καὶ δοκεῖ βάρος ἔχειν τὰς αὐτοῦ ἐντολάς, ἀλλ' εἰς πέρας ἄγουσι χρηστόν, ὡς τὸ ἀνάπαλιν αἱ τοῦ Μωάμεθ, κουφόταται δοκοῦσαι εἰς τέλος ἄγουσι πονηρόν. Ἀλλ' εἰ καὶ οὕτως ὁ Μωάμεθ ἐπετηδεύσατο, ὥστε τὸν νόμον αὐτοῦ ποιῆσαι κουφότατον, ἀλλ' ὅμως οὐκ ἠδυνήθη· προσέμιξε γάρ τινα βαρέα καὶ δυσβάστακτα καὶ οὐκ ἀναγκαῖα, οἷον τὸ περιτέμνεσθαι καὶ μὴ πίνειν οἶνον, νηστεύειν τε καὶ εὔχεσθαι καὶ ἕτερά τινα ἅπερ ὀλίγοις τῶν Σαρακηνῶν φυλάττεται, ὥστε χρείαν εἶναι αὐτοῖς ἑτέρου ‖ νόμου συγκαταβατικωτέρου, ὅπως τοῦτον πληροῦντες σω-
f 237r θεῖεν οἱ τάλανες. Ἀλλ' ὁ Χριστὸς πιστεύομεν ὅτι κατὰ τὴν ἡμετέραν ἰσχὺν καὶ δύναμιν ἐχορήγησεν τὸν νόμον αὐτοῦ· καὶ τοῦτο δῆλον, ὅτι

1) Ἐν τῇ ᾤᾳ: διαιρουμένου γὰρ τοῦ ἑνὸς ἀνδρὸς εἰς τὰς χιλίας γυναῖκας, χιλιοστὸν ἀνδρὸς ἑκάστη τούτων ἀπολαμβάνει· διαιρουμένης δὲ ἑκάστης τῶν χιλίων ἀναλόγως εἰς χίλια, χίλιαι χιλιάδες αἱ μερίδες τοῦ ἀνδρός· οὐ γὰρ ἑκάστη γυνὴ τέλειον ἔχει τὸν ἄνδρα, ὡς μὴ μόνη τοῦτον ἔχουσα· ὁ δὲ ἀνὴρ οὐ μόνον ὅτι ἔχει τελείαν γυναῖκα, ἀλλὰ καὶ χιλιοπλασιαζομένην· τοῦ γὰρ ἑνὸς μέρους τὸ πλεονέκτημα τοῦ ἑτέρου ἔνδεια προσγίνεται.

πολλοὶ τοῦτον ἐπλήρωσαν, ἄνθρωποι ὄντες ὥσπερ καὶ ἡμεῖς, οἵτινες καὶ χαρισμάτων παρὰ Θεοῦ ἠξιώθησαν διὰ τὴν εὐγνωμοσύνην αὐτῶν. Πῶς δὲ οὐ πάντες πληροῦμεν; Ὅτι τοῖς γηΐνοις μᾶλλον προσέχομεν ἢ τοῖς οὐρανίοις, ἀδόκιμοί πως καὶ ὀκνηροὶ δοῦλοι εὑρισκόμενοι. Ἐχρῆν οὖν, ὡς εἶπον, μὴ κατηγορεῖν τοὺς Σαρακηνοὺς τῶν χριστιανῶν, ἀλλ' ἐπαινεῖν τῆς ἀρετῆς ὡς κρείττονας, ὅσον τὸ πρὸς αὐτοὺς τὸ κρεῖττον ἐκλεξαμένους, ἑαυτοὺς δὲ μᾶλλον ἐξουθενεῖν καὶ μέμφεσθαι, ὡς τῷ ἥττονι νόμῳ ἑκοντὶ ἐπικαθημένοις.

Ἡμεῖς δὲ ἕνα εἶναι τὸν τοῦ νόμου χορηγόν, τὸν Υἱὸν τοῦ Θεοῦ, πιστεύομεν, τὸν πάλαι διὰ τοῦ Μωϋσέως τοῖς Ἰσραηλίταις τοῦτον χορηγήσαντα ἐν γνόφῳ καὶ πυρί, νῦν δὲ ἡμῖν μετὰ σαρκὸς τὸν αὐτόν τελειότερόν τε καὶ καθαρώτερον, ὡς καὶ διὰ τοῦτο συμφωνεῖν τὰ νέα τοῖς παλαιοῖς, καὶ διὰ τοῦτο μόνος κριτὴς ὁ Χριστός, ὡς καὶ παρὰ τῶν Σαρακηνῶν ὁμολογεῖται, ὅτι καὶ μόνος νομοδότης. Τὸν δὲ Μωάμεθ φθορέα τοῦ νόμου καὶ τοῦ Ἀντιχρίστου πρόδρομον ἐπιστάμεθα, καὶ σὺν αὐτῷ κριθήσεσθαι πεπείσμεθα, ὡς κατ' οὐδὲν αὐτῷ διαφέροντα ἔν τε τῇ πολιτείᾳ καὶ τῇ νομοθεσίᾳ, οἵτινες κατὰ Θεοῦ συγχώρησιν τοῦ Σατανᾶ τοιαῦτα σκεύη ἐπιτήδεια ὁ μὲν γέγονεν, ὁ δὲ γενήσεται, ἵνα ἐν τοῖς τοιούτοις πειρασμοῖς οἱ δόκιμοι τῶν χριστιανῶν ὀφθῶσιν. Ὧν ἄμφω τῆς πλάνης ἡμᾶς ἐξελοῖτο Χριστὸς ὁ Θεός, ὁ σὺν Πατρὶ καὶ Πνεύματι δοξαζόμενος καὶ μένων εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

## XIV

## ΠΡΟΣ ΛΑΤΙΝΟΥΣ ΑΡΜΟΣΕΙΕ Δ' ΑΝ ΚΑΙ ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ ΚΑΙ ΣΑΡΑΚΗΝΩΝ ΒΛΑΣΦΗΜΟΥΝΤΩΝ ΠΕΡΙ ΤΗΝ ΥΙΟΤΗΤΑ

Φασὶν οἱ Λατῖνοι, πῶς οὐκ ἐμφέρεται ἐν τῇ Γραφῇ προβολεὺς ὁ f 215v
Πατήρ, ὥσπερ δῆτα καὶ Πατήρ. Ἀλλ' ἐχρῆν εἰδέναι αὐτούς, τὶς ὁ καλῶν αὐτὸν πατέρα. Ἐν μὲν οὖν τῇ Παλαιᾷ, εἰ καὶ καλεῖται Πατήρ, ἀλλὰ θέσει μόνοις τοῖς τὸν νόμον αὐτοῦ φυλάττουσιν, οὐχὶ δὲ καὶ τοῖς λοιποῖς ἔθνεσι τέως. Φησὶ γὰρ Ἡσαΐας, «ὅτι ἀνέσχου ἡμῶν, Κύριε· σὺ γὰρ ἡμῶν εἶ πατήρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, ἀλλὰ σύ, Κύριε πατὴρ ἡμῶν, καὶ ῥῦσαι ἡμᾶς· ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι»· καὶ πάλιν «καὶ νῦν Κύριε πατὴρ ἡμῶν σὺ εἶ· ἡμεῖς δὲ πηλὸς καὶ σὺ ὁ πλάστης ἡμῶν καὶ ὁ νομοθέτης· οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε;» Ὁρᾷς, ὅτι εἰ καὶ

[22]) Κῶδ. Ἀμβρ. 290 fol. 215v—218r [28]) Ἡσ. 63,16 [31]) Ἡσ. 64,8

ΙΩΑΝΝΙΝΑ 2006

πατὴρ ἐλέγετο τοῖς Ἑβραίοις, ἀλλὰ καὶ κύριος καὶ ποιητής; Ἐλέγετο
τοίνυν πατὴρ ὁ Θεὸς τοῖς ἐξ Ἀβραάμ, διὰ τὸ πολιτεύεσθαι τὸν νό-
μον αὐτοῦ παρ' αὐτοῖς, αὐτὸν δὲ δίκην πατρὸς αὐτοῖς διατίθεσθαι, ἐν
τῷ λυτροῦσθαι αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν καὶ ἐπιμελεῖσθαι αὐ-
τῶν καὶ κήδεσθαι φιλοστόργως, ὡς αὐτὸ τοῦ Ἡσαΐου τὸ ῥητὸν μάλα
σαφῶς παρίστησιν ἐν τῷ λέγειν, «σὺ γὰρ ἡμῶν εἶ πατήρ, ὅτι Ἀβραὰμ
οὐκ ἔγνω ἡμᾶς»· ὡσανεὶ ἔλεγεν, Ἀβραὰμ οὐδένα ὑπὲρ ἡμῶν ποιεῖται
λόγον, ἀλλ' αὐτὸς εἶ ῥύστης ἡμῶν ἐν τοῖς ἐπερχομένοις ἡμῖν δεινοῖς.
16r Πῶς δὲ τοῦτό ἐστι, τὸ ἐπαγόμενον || ἐφερμηνευτικόν, ὅτι «ἀπ' ἀρχῆς
τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστιν». Καὶ ἐν τῷ Δευτερονομίῳ δέ, «εἰς τὰς
πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρέ-
νων αὐτοῦ, Κύριος μόνος ἦγεν αὐτοὺς» καὶ τὰ ἑξῆς. Μετὰ γοῦν τὸ πα
ραβῆναι τὸν νόμον αὐτοῦ, οὐκέτι ἀνέχεται καλεῖσθαι ὑπ' αὐτῶν πα
τήρ, ὡς ἐν τῷ Μαλαχίᾳ γέγραπται «υἱὸς δοξάζει πατέρα καὶ δοῦλος
τὸν κύριον αὐτοῦ· καὶ εἰ πατὴρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου· καὶ
εἰ κύριός εἰμι ἐγώ, ποῦ ἐστιν ὁ φόβος μου». Τὸ δὲ ἑξῆς νοεῖται, ὅτι
οὐκ εἰμὶ πατὴρ ὑμῶν, ἐπεὶ οὐ δοξάζετέ με, ἀθετοῦντες τὸν νόμον μου
καὶ τὰ προστάγματά μου. Καὶ ὅσον τὸ ἐφ' ὑμῖν, οὐ μόνον οὐ πατήρ,
ἀλλ' οὐδὲ κύριος. Ὅτι δὲ οὕτως ἔχει, προσμαρτυρήσειεν ἂν καὶ τὸ
παρὰ Χριστοῦ εἰρημένον πρὸς Ἰουδαίους. «Πᾶς ὁ ποιῶν τὴν ἁμαρ-
τίαν δοῦλός ἐστι τῆς ἁμαρτίας»· καὶ «εἰ τέκνα Ἀβραὰμ ἦτε, τὰ ἔργα
Ἀβραὰμ ἐποιεῖτε· νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι»· καὶ πάλιν «ὑμεῖς
ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν
θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἐξ ἀρχῆς». Οὐκοῦν οὔτε τοῦ
Θεοῦ οὔτε τοῦ Ἀβραὰμ τέκνα εἰκότως ἂν εἰς τὸ ἑξῆς κληθεῖεν Ἰου-
δαῖοι, διὰ τὴν εἰς Χριστὸν μανίαν, τοῦ Σατανᾶ δέ, διὰ τὸ ὁμοιότροπον.
Ἡμεῖς δὲ οἱ πιστεύσαντες εἰς Χριστὸν καὶ πράττοντες τὰς ἐντολὰς αὐ-
τοῦ καὶ πάνυ ἁρμοδίως τέκνα τοῦ τε Ἀβραὰμ καὶ αὐτοῦ τοῦ Θεοῦ
καλούμεθα, ὡς τὸ «πατέρα πολλῶν ἐθνῶν τέθεικά σε», καὶ πάλιν
«ὑμεῖς δὲ ὅταν προσεύχησθε, λέγετε· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς»,
καὶ πάλιν «γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρ-
μων ἐστίν». Ὁρᾷς κἀνταῦθα, ὅτι τὸ μιμεῖσθαι τὸν Θεὸν ὡς οἷόν τε
ἐν ταῖς ἀγαθοεργίαις ποιεῖ τέκνον Θεοῦ τὸν ἄνθρωπον;

16v Ἀλλ' οὕτω μὲν οὖν κἀν τῇ παλαιᾷ κἀν τῇ || νέᾳ Γραφῇ υἱοὶ Θεοῦ
ὀνομάζονται οὐχ ἁπλῶς οἱ παρ' αὐτοῦ δημιουργικῶς τὸ εἶναι λαβόντες,
ἐπεὶ τί κατὰ τοῦτο ἐκώλυεν ἂν καὶ πατέρα τῶν κτηνῶν λέγεσθαι; ἀλλὰ

[10]) Δευτ. 32,11 [14]) Μαλ. 1,6 [20]) Ἰωάν. 8,35 [21]) αὐτ. 39 [22]) αὐτ. 44
[29]) Γεν. 17,5. Ῥωμ. 4,17 [30]) Λουκ. 11,2 [31]) Λουκ. 6,36

μόνοι οἱ διὰ φροντίδος ἔχοντες τὰς ἐντολὰς αὐτοῦ ποιεῖν. Εἰ δὲ φαίη τις, ὅτι καὶ ἐπὶ τῆς κτίσεως καὶ οὐ μόνον τῆς μιμήσεως λέγεται γέννησις, προβαλλόμενος τὸ πρὸς Ἰὼβ εἰρημένον, «τίς ἐστιν ὑετοῦ πατήρ, τὶς δὲ ὁ τετοκὼς βώλους δρόσου» καὶ τὰ ἑξῆς, ἴστω ὅτι οὐχ ὁριστικῶς τοῦτο εἴρηκεν, ἀλλ' ὡς ἐρωτῶν καὶ οἷον εἰς ἀπορίαν ἐμβάλλων τὸν ἀκροατήν. Ὥστε ἐπὶ μόνων τῶν ἀνθρώπων εἴρηται κατὰ θέσιν γέννησις. Ὁ δὲ Χριστὸς οὐ κατὰ θέσιν ἢ ὁμοιότητα τῶν ἔργων λέγεται υἱὸς Θεοῦ, ἀλλ' ὡς φύσει ἐξ αὐτοῦ γεννηθεὶς πρὸ πάντων αἰώνων, καὶ δυνάμενος ὅσα δῆτα καὶ ὁ Πατήρ, ὡς ἐκ πολλῶν δῆλον καὶ οὐκ ἀναγκαῖον ἐνταῦθα περὶ τούτου φιλοκρινεῖν. Διὸ καὶ μονογενὴς καὶ ἀγαπητός ἐστι τῷ Πατρί, καὶ εὐδοκεῖ ἐν αὐτῷ ὁ Πατὴρ ὡς συμβούλῳ καὶ δίδωσιν αὐτῷ ἔθνη τὴν κληρονομίαν αὐτοῦ καὶ ἅπασαν τὴν κρίσιν. Τοὐναντίον δέ τισι πρόσκαιρος ἡ υἱοθεσία τῶν προρρηθέντων, ἀποστασίαν τε καὶ ἀγνωμοσύνην ἐγκαλοῦνται παρὰ Θεοῦ, ὡς τὸ «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν», καὶ «ὁ λαός μου οὐ συνῆκε», καὶ πάλιν «Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες καὶ ἐπελάθου τοῦ Θεοῦ τοῦ τρέφοντός σε». Ταῦτα δὲ πάσχουσιν ἐνίοτε ἄνθρωποι διὰ τὸ τρεπτὸν τῆς φύσεως καὶ τὸ τῆς γνώμης αὐτεξούσιον.

Ἔχεις τοίνυν τὸ ζητούμενον, διατὶ Πατὴρ καλεῖται παρὰ τῇ Γραφῇ Θεός, προβολεὺς δέ, ἀπεικὸς ἦν καὶ ἀλλόκοτον, εἴτε ὑπὸ Ἰουδαίων, εἴτε καὶ ‖ ὑπ' αὐτοῦ τοῦ Χριστοῦ κληθῆναι. Ἐπεὶ οὐδεμία σχέσις υἱοῦ πρὸς f 217r προβολέα. Εἰ γὰρ πρόβλημα, οὐ πάντως υἱός. Πατὴρ τοίνυν, ὡς εἴρηται, ὁ Θεὸς τοῦ Χριστοῦ, προβολεὺς δὲ τοῦ Ἁγίου Πνεύματος. Οὐκ ἐνδέχεται δὲ ὑπὸ τοῦ Ἁγίου Πνεύματος καλεῖσθαι προβολεὺς ὁ Πατήρ, ἐπεὶ οὐχ ὡμίλησεν ἡμῖν σωματικῶς τὸ Πνεῦμα. Πλὴν οὐδὲ τοῦτο παρέλειψεν ὁ Χριστὸς ἡμῖν ἄδηλον. Εἰ γὰρ αὐτός φησι, «τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται», πῶς οὐκ ἐντεῦθεν τρανῶς συνάγεται, ὅτι καὶ προβολεύς ἐστι κατὰ τὸν τοῦ προβλήματος λόγον ; Εἰ δ' οὐκ ἔστι προβολεὺς τοῦ ἐξ αὐτοῦ ἐκπορευομένου, πῶς οὐκ ἐνδώσει τις, ὅτι οὐδὲ πατήρ ἐστι τοῦ ἰδίου γεννήματος ; Εἰ δὲ τρανῶς καὶ αὐτολεξεὶ τοῦτο θέλεις ἰδεῖν, ἔξεστί σοι τοῦτο ἐν τῇ τῶν κατηχουμένων χειροθεσίᾳ τῶν διατάξεων τῶν ἁγίων Ἀποστόλων. Φέρεται γὰρ οὕτως : «Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ μόνος ἀληθινὸς Θεός· ὁ Θεὸς καὶ Πατὴρ τοῦ Χριστοῦ σου, τοῦ μονογενοῦς Υἱοῦ σου· ὁ τοῦ Παρακλήτου προβολεὺς καὶ τῶν αἰώνων κύριος». Ἐπεὶ δὲ ταύτας νενοθεῦσαί φασίν, ἴστω πᾶς, ὅτι οὐ

3) Ἰώβ. 38,28. 14) Ἠσ. 1,2—3. 16) Δευτ. 32,18 26) Ἰωάν. 15,26.
33) Migne PG. 1,1080 36) Σχόλιον ἐν τῇ ὥᾳ : ἐμοὶ δοκεῖ οὐ νοθείαν εἶναι, ἀλλὰ συγκατάβασιν.

πάσας, οὔτε ἐν ἅπασι νενοθευμέναι εἰσίν. Ἐπεὶ τοῦτο παντελής ἐστιν ἀνατροπὴ καὶ φανερὰ ἐπήρεια, καὶ οὐκ ἂν οἱ θεῖοι Πατέρες ἐντεῦθεν ἔλαβον τὰς ἀφορμὰς τῶν εὐχῶν τῆς ἱερᾶς Ἐκκλησίας. Ἀλλ' ἐκεῖναι νενοθεῦσθαι φαμέν, ὅσαι τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκεινται. Φέρεται δ' οὖν ὅμως καὶ ἐν τῇ πρὸς Ἰάκωβον ἀρχιεπίσκοπον Ἱεροσολύμων ἐπιστολῇ τοῦ ἱερομάρτυρος Κλήμεντος, ἱστοροῦντος τὰ περὶ αὐτὸν καὶ τὸν ἀπόστολον Πέτρον, ἐκ προσώπου τοῦ ἀποστόλου κατηχοῦντος αὐ-
f 217v τὸν μετά τινα οὕτως: «Ὅπως διαβλέψαντες ‖ οἱ ἄνθρωποι πιστεύσωσιν εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱόν, τὸν πρὸ αἰώνων ἐξ αὐτοῦ ἀφράστως γεννηθέντα· καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐξ αὐτοῦ ἀρρήτως ἐκπορευόμενον». Οὐ δεῖ τοίνυν τὸν εὖ φρονοῦντα ἐναργεστέρας τούτων ἢ καὶ μακροτέρας ζητεῖν μαρτυρίας. Ἐπεὶ καὶ τοῖς κήρυξι τότε τοῦ λόγου ἅπας ὁ λόγος ἦν, ὥσθ' ἅπαντας πεῖσαι, ὅτι αὐτὸς ὁ Ἰησοῦς Χριστὸς υἱός ἐστι τοῦ Θεοῦ, ὃς ἐνηνθρώπησε καὶ πέπονθε σαρκὶ δι' ἡμᾶς, καὶ ἀνέστη δυνάμει θείᾳ, καὶ νῦν ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός, προσδοκώμενος ἐπὶ συντελείᾳ τοῦ αἰῶνος εἰς τὸ κρῖναι ζῶντας καὶ νεκρούς. Περὶ τούτου γὰρ μᾶλλον διεφέροντο οἱ ἄπιστοι τοῖς πιστοῖς, οὐ τοσοῦτον δὲ περὶ τοῦ Ἁγίου Πνεύματος. Καὶ τί λέγω τότε, ὅπου γε καὶ νῦν πλεῖστον μέρος τῆς οἰκουμένης περὶ τούτου ἡμῖν μάχονται διαφωνοῦντες. Τούτου δὲ πιστευθέντος, εὐπετὲς καὶ τὸν περὶ τοῦ Ἁγίου Πνεύματος δεχθῆναι λόγον. Καθὼς καὶ ὁ Θεολόγος Γρηγόριος ἐν τοῖς αὐτοῦ ἔπεσι φησὶ περὶ τοῦ Πνεύματος:

«Ὡς γὰρ Πατρὸς ἄνακτος ὅλην θεότητα προφαίνων,
Πρόσθε λόγος, Χριστοῖο μέγα κλέος αὐγάζεσκε,
Παύροισι πινυτοῖσι φαεινόμενον· μερόπεσσιν,
Ὡς καὶ παιδὸς ἔπειτα φαεινοτέρην ἀναφαίνων,
Πνεύματος αἰγλήεντος ὑπήστραψε θεότητα».

Ἤτοι καθάπερ γὰρ πρῴην τὴν ὅλην προφαίνων ὁ Λόγος θεότητα τοῦ Πατρός, τὴν τοῦ Χριστοῦ δόξαν ἀμυδρῶς ὑπέλαμπεν, ὀλίγοις ὑποφαινομένην ἀνθρώποις, καὶ ἐκείνοις τοῖς συνετωτέροις καὶ πυκνοῖς τὴν
f 218r διάνοιαν, οὕτω καὶ τοῦ Υἱοῦ ‖ ὕστερον λαμπροτέραν ἀναφαίνων καὶ τρανοτέραν τὴν θεότητα, τοῦ παμφαοῦς Πνεύματος ὑπηύγασε τὴν θεότητα.

14) Migne PG. 37, 410

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006